# AESOPI FABVLAE (XII)

## 130-ΚΟΡΑΞ ΚΑΙ ΟΦΙΣ

κόραξ τροφῆς ἀπορῶν ὡς ἐθεάσατο ὄφιν ἔν τινι εὐηλίῳ τόπῳ κοιμώμενον τοῦτον καταπτὰς ἥρπασε. τοῦ δὲ ἐπιστραφέντος καὶ δακόντος αὐτὸν[1] ἀποθνῄσκειν μέλλων ἔφη· «ἀλλ' ἔγωγε δείλαιος, ὅστις[2] τοιοῦτον ἕρμαιον εὗρον, ἐξ οὗ καὶ ἀπόλλυμαι.

οὗτος ὁ λόγος λεχθείη ἂν[3] ἐπ' ἄνδρα, ὃς διὰ θησαυροῦ εὕρεσιν καὶ περὶ σωτηρίας ἐκινδύνευσε.

---

[1] **τοῦ δὲ ἐπιστραφέντος καὶ δακόντος αὐτὸν.** Genitivo absoluto. Se refiere a la serpiente.
[2] **ὅστις** = ὅς
[3] **λεχθείη ἂν.** Optativo aoristo pasivo con partícula modal. Tradúzcase como si dijera λέγεται